τήμερον.] οὐκ ἔστι σοι σήμερον ἡμέρα παιωνία καὶ ὑγιεινή. ἕκαστον δὲ ὧν ὁ Λάμαχος λέγει, τρέπει οὗτος εἰς παιδιάν. Παιᾶνα φησὶν ἐπικαλῇ, ὥσπερ οὐκ εἰδὼς, ὅτι σήμερον οὐκ ἔστι Παιώνια. ἔστι δὲ ἑορτὴ Ἀθήνησιν, Ἀπόλλωνι ἴσως ἀνακειμένη. καὶ Παιώνειον ἰατρεῖον θεραπευτήριον. ἢ σωτήριον φάρμακον. καὶ Παιωνίοις τισὶ φαρμάκοις σωτηρίοις. ἰατρευτικοῖς θεραπευτικοῖς. καὶ παρακατιὼν ἐρεῖ Παιωνίαισι χερσί. Λάβεσθέ μου.] λάβεσθε διπλῆ καὶ δυάδες τρεῖς δικώλους ἔχουσαι τὰς περιόδους, ἐξ ἰάμβου τριμέτρου ἀκαταλήκτου ἐκκειμένου. τὸ μὲν οὖν πρῶτης δυάδος τὸ πρῶτον Παιωνικὸν δίρρυθμον. τὸ προσλάβεσθ' ὦ φίλαι. Ιλιγγιῶ.] ὅταν περὶ τὴν καρδίαν στρόφος γένηται, ἐπακολουθεῖ σκότος. καὶ τοῦτο καλοῦσι τὸ πάθος ἴλιγγον.

Bisetus. Στύομαι.] τὴν τοῦ αἰδοίου τάσιν, καὶ συνουσίας ἐπιθυμίαν τούτῳ τῷ ῥήματι ὑποσημαίνει. τί δὲ τὸ στύειν, καὶ στύεσθαι, ἐν τοῖς ἑξῆς διὰ πλειόνων ἐπιτηδειότερον εἰρήσεται.

Σχόλια. Ποῦ 'στιν ὁ βασιλεύς.] δηλοῖ ὡς ἄρα τὴν ἐπιμέλειαν ὁ βασιλεὺς εἶχε τῆς ἁμίλλης τοῦ χοὸς καὶ τὸ ἆθλον ἐδίδου τῷ νικήσαντι, τὸν ἀσκόν. ὁ δὲ βασιλεὺς ἀρχή τις ἐστίν. ἦν δὲ καὶ τῶν μυστηρίων ἐπιμελητὴς τῶν πομπῶν, καὶ τῶν θυσιῶν δὲ ἦρχεν.

Λα. Λόγχη τις ἐμπέπηγέ μοι δι' ὀστέων ὀδυρτά.
Δι. Ὁρᾶτε τουτονὶ κενόν; Τήνελλα καλλίνικος.
Χο. Τήνελλα δῆτ', εἴπερ καλεῖς, πρέσβυ καλλίνικος.
Δι. Καὶ πρός γ' ἄκρατον ἐγχέας ἄμυστιν ἐξέλαψα.
Χο. Τήνελλα νυν ὦ ἀγεννάδα χώρει λαβὼν τὸν ἀσκόν.
Δι. Ἕπεσθέ νυν ᾄδοντες, ὦ τήνελλα καλλίνικος.
Χο. Ἀλλ' ἑψόμεσθα σὴν χάριν,
Τήνελλα καλλίνικον ᾄ-
δοντές σε καὶ τὸν ἀσκόν.

*LA. Per ossa quædam lancea hostilis mihi inuolauit.*
*DI. Videtin' poculum hoc vacuum? Tenella egregia victrix.*
*CH. Tenella sanè si vocas, senex, egregia victrix.*
*DI. Et insuper meracum infudi, & hianti ore ingurgitaui.*
*CH. Tenella, nunc age generose, vtrem cape & recede.*
*DI. Sequimini me cantantes, ó Tenella egregia victrix.*
*CH. Tui sequemur gratia,*
*Tenella victrix inclytam*
*Cantabimus te, & vtrem.*

Σχόλια. Ὀδυρτά.] κατ' ἐναλλαγὴν τοῦ σ ὀδυρτά, τουτέστι Θρακική ἢ ἀπὸ τοῦ ὀδύρεσθαι. τουτέστι θρῆνον ἐμποιοῦσα καὶ ὀδυρμόν. Πρέσβυ.] ἑαυτὸν γὰρ ὑπετίθετο πρέσβυν, πρὸς τὴν γυναῖκα διαλεγόμενος ἐν ἀρχῇ τοῦ δράματος. Ἄμυστιν.] τὴν ἀθρόαν πόσιν οὕτως ἔλεγον. ἔστι δὲ εἶδος ποτηρίου φιαλώδους. ἄλλως. ὅτι ὁμοῦ καὶ ἀθρόως ἔπινον, ἢ παρὰ τὸ ἀπνευστὶ ἐκπιεῖν, ἢ παρὰ τὸ μὴ μύειν. ἔστι δὲ καὶ εἶδος ποτηρίου.

Bisetus. Ἄμυστιν.] Εὐστάθιος. ἄμυστις, εἶδος ποτηρίου, παρὰ τὸ μὴ μύειν τοὺς ἐξ αὐτοῦ πίνοντας, διὰ τὸ εὔκολον τῆς πόσεως. καὶ ἄμυστις πόσις, ἥν τις πίνει μὴ μύσας. ὅθεν τὸ ἀμυστίζειν τὸ ἀθρόως, καὶ ἀπνευστὶ πίνειν. ὅπερ οἱ ποιοῦντες, ὥς φασιν οἱ παλαιοὶ κατὰ τὸν Πλούταρχον, ἥκιστα μέθαις περιπίπτουσιν.

Σχόλια. Τήνελλα.] μίμημα ἐπιφθέγματος αὐλοῦ τὸ Τήνελλα. Ἀρχίλοχος.
Τήνελλα καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεις,
Αὐτός τε καὶ Ἰόλαος αἰχμητὰ δύο.

Biset. Ἀγεννάδα.] γεννάδας παρὰ τῷ Ἡσυχίῳ, γενναῖος, ἀνδρεῖος, εὐγενής, μέγας. ἐν δὲ τῷ συνθέτῳ ἀγεννάδας, τὸ α οὐ στερητικόν ἐστιν, ἀλλὰ ἐπιτατικόν.

Σχόλια. Ἀλλ' ἑψόμεσθα σὴν χάριν.] λείπει ἡ εἰς πρόθεσις. ἵν' ᾖ εἰς σὴν χάριν.

Biset. Οὕτω καὶ Αἰσχύλος ἐν Πέρσαις,
Ἔρεσσ', ἔρεσσε, καὶ στέναζ' ἐμὴν χάριν.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΑΧΑΡΝΕΩΝ ΤΕΛΟΣ.

ARISTOPHANIS ACHARNENSIUM FINIS.